UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

**Isidorus <Pelusiota>**

**Parisiis, 1585**

Eidem. 349.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

τὸν δὲ ποιμένα τούτου περιβάλλοντες κακοῖς. οὐκ ἐξ ἀγάπης ἄρα πρὸς θεὸν γέγονεν ὑμῖν ἡ τῶν δώρων προσφορά, ἀλλ' ἐκ δόξης κενῆς, ἐντεῦθεν ἐχούσης ἀποχὴν τοῦ μισθοῦ αὐτῆς.

exornatis, huius autem pastorem calamitatibus afficitis. Quapropter non charitate erga Deum ducti huiusmodi munera obtulistis: verùm inanis glorię studio, mercedem suam hinc recipientis.

### Τῷ αὐτῷ. τμθ.

Εἰ ἀληθῶς βούλει θεῷ δωροφορεῖν, τὸν μεσίτην τῶν δώρων μὴ ἀτίμαζε, οὗ ταῖς χερσὶ διακόνοις κεχρῆσθαι θεὸς φιλανθρώπως ἠξίωσεν. ἱερεὺς γὰρ εἰ καὶ βίῳ τινὶ ῥαθύμῳ, ὥς φατε, κεκηλίδωται, αὐτὸς μὲν ὑφέξει εὐθύνας, ἄγγελος δὲ κυρίου παντοκράτορός ἐστι, τῇ τε τῆς θείας τελετῆς μυσταγωγίᾳ, καὶ τῇ πρὸς σωτηρίαν πολλῶν διακονίᾳ.

### *Eidem.* 349.

Si munus Deo verè offerre cupis, muneris sequestrum ne aspernare: cuius administris manibus vti Deus pro sua benignitate minimè dedignatus est. Sacerdos enim, etiamsi inertis atque ignauæ vitæ, vt asseritis, maculis cõtaminatus est, ipse quidem pœnas luet, interim tamen Angelus Domini omnipotentis est: tum quia diuini sacrificij munere perfungitur, tum quia multorum saluti operam nauat.

### Λαμπετίῳ. τν.

Εἰ μὴ ἀνέγνως τῶν ἀχυρμιῶν τὸν σῖτον διακρινόμενον, καὶ τὰ μὲν πυρί, τὰ δὲ ἀποθήκῃ τηρούμενα, οὐδ' οὕτως εἶχες ἀπολογίαν τὴν ἄγνοιαν, πάντων τῶν καλλίστων ἐχούσης γνῶσιν τῆς φύσεως. ἃ γὰρ παθεῖν οὐ βουλόμεθα, ταῦτα καὶ μὴ ποιεῖν διδασκόμεθα, εἰ δὲ καὶ ἔνδον ἑαυτῶν τῶν χρηστῶν τὴν εἴδησιν ἔχομεν, καὶ τῷ θείῳ νόμῳ ταύτην σαφῶς παιδευόμεθα, τί ταῖς ἡδυπαθέσι ῥιπίζῃ πνοαῖς ἀχύρων δίκην πρὸς αὐτὰς ἐκρηπτούμενος; ὅρα τοίνυν ὅτι πῦρ ἔχει τελευτὴν τὸ ἀβέβαιον, ἢ καθαῖρον, ἢ εἰς τέλος ἐκκαῖον.

### *Lampetio.* 350.

Si parabolam illam non legisti, in qua triticum à paleis distinguitur, atque illæ igni, hoc autem apothecæ seruatur, ne sic quidem tamen causam tuam ignoratione tueri potes: quippe cùm præclarissimarum omnium rerum cognitionem natura habeat. Nam quæ perpeti nolumus, eadem ne quidem facere docemur. Quod si & virtutum cognitionem in animis nostris insitam habemus, & eam ex diuina lege perspicuè discimus, ecquid tu voluptatis ventis iactaris, palearum instar ad eas proiectus? Vide igitur, inconstantiam igne terminari, vel purgante atque expiante, vel ad extremum vsque inflammante.

### Αμμωνι. τνα.

Τί σοι καὶ τῷ γένει τῷ θηροτρόπῳ; τί σοι καὶ τῷ ἔθνει τῷ ἀλλοφύλῳ; τί τοῖς δυσμενέσι συμφύρῃ; τί τοῖς καππαδόκαις συγκόπτῃ; τί τοὺς γιγαντείους συγγίγαντας καθ' ἑαυτοῦ ἐξοπλίζεις; τί τοὺς οἰνοδυνάστας ἐρεθίζεις; τί τοὺς λελυττηκότας κύνας ἀγριαίνεις, ὧν τὰ δήγματα θάνατος; τί τὰς λοιδόρους γλώττας παροξύνεις;

### *Ammoni.* 351.

Quid tibi cum genere belluinis moribus prædito? Quid tibi cum barbara natione? Quid te cum ignobilibus commisces? Quid cum Cappadocibus collideris? Quid Gigantij congigantes aduersus teipsum armas? Quid eos, qui bibendo plurimũ possunt, extimulas? Quid rabie percitos canes, quorum pestiferi morsus sunt,